Ακαδημία Αθηνών / Academy of Athens

**ὁμοῦ 1**. Μαζὶ/σὲ ἀχώριστο σύνολο, together/in an unseparated whole, Παρμενίδης 8.5 *ἔστιν ὁ μ ο ῦ πᾶν, ἕν, συνεχές* Ἀναξαγόρας 1.1-3 *ὁ μ ο ῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα... καὶ πάντων ὁ μ ο ῦ ἐόντων οὐδὲν ἔνδηλον ἦν ὑπὸ σμικρότητος* 4.13 *πρὶν δὲ ἀποκριθῆναι ταῦτα πάντων ὁ μ ο ῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία* 6.6 *εἶναι καὶ νῦν πάντα ὁ μ ο ῦ* **2**. Μαζὶ/συνάμα, together/alike, Παρμενίδης 9.3 *πᾶν πλέον ἐστὶν ὁ μ ο ῦ φάεος καὶ νυκτὸς ἀφάντου*.

**ὁμουρεῖν**. Συνορεύω/ἔρχομαι σὲ ἐπαφή, border on/come into contact, Μέλισσος 8(3) *ὅ τε σίδηρος σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ὁ μ ο υ ρ έ ω ν, καὶ χρυσὸς καὶ λίθος*.

**ὁμοφροσύνη**. Ὁμοφροσύνη, community of mind and feeling, Δημόκριτος 186 *ὁ μ ο φ ρ ο σ ύ ν η φιλίην ποιεῖ*.

**ὁμόφυλος**. Ὁμοειδὴς/συγγενικός, of the same race/akin, Φιλόλαος 6.8-11-12 *ἐπεὶ δὲ ταὶ ἀρχαὶ ὑπᾶρχον οὐχ ὁμοῖαι οὐδ' ὁ μ ό φ υ λ ο ι ἔσσαι, ἤδη ἀδύνατον ἦς κα αὐταῖς κοσμηθῆναι, εἰ μὴ ἁρμονία ἐπεγένετο ᾡτινιῶν ἅδε τρόπῳ ἐγένετο. τὰ μὲν ὦν ὁμοῖα καὶ ὁ μ ό φ υ λ α ἁρμονίας οὐδὲν ἐπεδέοντο, τὰ δὲ ἀνόμοια μηδὲ ὁ μ ό φ υ λ α μηδὲ ἰσοταγῆ ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ συγκεκλεῖσθαι, οἵᾳ μέλλοντι ἐν κόσμῳ κατέχεσθαι*. Πρβλ. ὅμοιος, ἰσοταγής.

**Ὀμφαίη** (ἀντίθ. *Σωπή*). Ἡ Ἱερὴ Φωνή (προσωποπ.), Holy Voice (personif.), Ἐμπεδοκλῆς 123.3 *Κινώ τ' Ἀστεμφής τε, πολυστέφανός τε Μεγιστὼ καὶ Φορύη, Σωπή τε καὶ Ὀ μ φ α ί η*.

**ὀμφαλός**. Ὀμφαλὸς/ἀφαλός, navel, Φιλόλαος 13.2-5 τέσσαρες ἀρχαὶ τοῦ ζῴου τοῦ λογικοῦ ... *κεφαλὰ μὲν νόου, καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος, ὀ μ φ α λ ὸ ς δὲ ῥιζώσιος καὶ ἀναφύσιος τοῦ πρώτου ... ἐγκέφαλος δὲ ⟨σαμαίνει⟩ τὰν ἀνθρώπω ἀρχάν, καρδία δὲ τὰν ζῴου, ὀ μ φ α λ ὸ ς δὲ τὰν φυτοῦ* Δημόκριτος 148 *ὁ γὰρ ὀ μ φ α λ ὸ ς πρῶτον ἐν μήτρῃσιν ... ἀγκυρηβόλιον σάλου καὶ πλάνης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι*.

**ὁμῶς 1**. Ὅμοια/ἐπίσης, at the same time/as well, Παρμενίδης 6.7 *ἀμηχανίη γὰρ ἐν αὐτῶν στήθεσιν ἰθύνει πλακτὸν νόον*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ